ΘΟ. τί δ' ἔστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις;
ΙΦ. ἀπέπτυσ'· ὁσίᾳ γὰρ δίδωμ' ἔπος τόδε.
ΘΟ. τί φροιμιάζει νεοχμόν; ἐξαύδα σαφῶς.
ΙΦ. οὐ καθαρά μοι τὰ θύματ' ἠγρεύσασθ', ἄναξ.
ΘΟ. τί τοὐκδιδάξαν τοῦτό σ'; ἢ δόξαν λέγεις;
ΙΦ. βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.
ΘΟ. αὐτόματον, ἤ νιν σεισμὸς ἔστρεψε χθονός;
ΙΦ. αὐτόματον· ὄψιν δ' ὀμμάτων ξυνήρμοσεν.
ΘΟ. ἡ δ' αἰτία τίς; ἢ τὸ τῶν ξένων μύσος;
ΙΦ. ἥδ', οὐδὲν ἄλλο· δεινὰ γὰρ δεδράκατον.
ΘΟ. ἀλλ' ἦ τιν' ἔκανον βαρβάρων ἀκτῆς ἔπι;
ΙΦ. οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.
ΘΟ. τίν'; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.
ΙΦ. μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.
ΘΟ. Ἄπολλον, οὐδ' ἐν βαρβάροις ἔτλη τόδ' ἄν.
ΙΦ. πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.
ΘΟ. ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;
ΙΦ. σεμνόν γ' ὑπ' αἰθέρ', ὡς μεταστήσω φόνου.
ΘΟ. μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;
ΙΦ. ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπέστράφη πάλιν.
ΘΟ. σοφήν σ' ἔθρεψεν Ἑλλὰς, ὡς ᾔσθου καλῶς.
ΙΦ. καὶ νῦν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.
ΘΟ. τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντέ σοι;
ΙΦ. τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.
ΘΟ. ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων;
ΙΦ. καὶ πατέρα γε ζῆν καὶ καλῶς πράσσειν ἐμόν.
ΘΟ. σὺ δ' ἐς τὸ τῆς θεοῦ γ' ἐξένευσας εἰκότως.
ΙΦ. πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.
ΘΟ. τί δῆτα δρῶμεν, φράζε, τοῖν ξένοιν πέρι;
ΙΦ. τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.
ΘΟ. οὔκουν ἐν ἔργῳ χέρνιβες ξίφος τε σόν;
ΙΦ. ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.
ΘΟ. πηγαῖσιν ὑδάτων ἢ θαλασσίᾳ δρόσῳ;
ΙΦ. θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.
ΘΟ. ὁσιώτερον γοῦν τῇ θεῷ πέσοιεν ἄν.
ΙΦ. καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.